A

## ΣΤΡΟΦΗ κώλων η'.

Χο. Ἔα. ἔα. προδεδόμεθ', ἀνόσιά τ' ἐπάθομεν.
Ὃς γὰρ φίλος ἦν, ὁμότροφά θ' ἡμῖν
Ἐνέμετο πεδία παρ' ἡμῖν,
Παρέβη μὲν θεσμοὺς ἀρχαίους.
B Παρέβη δ' ὅρκους ὀρνίθων.
Ἐς δὲ δόλον ἐκάλεσεν, παρέβαλέν τ' ἐμὲ παρὰ
Γένος ἀνόσιον. ὅπερ ἐξότ' ἐγένετό γε ἐπ' ἐμοὶ
Πολέμιόν τ' ἐτράφη.

## VERSIO membrorum octo.

*CH. Heu, heu, tradimur, iniustáque passi sumus.*
*Qui enim amicus erat simul nutritúsque nobis,*
*Pascebat campos apud nos,*
*Præteriuit quidem leges antiquas,*
*Præteriuit autem iuramenta auium.*
*In autem dolum vocauit, adiecitque me apud*
*Genus iniustum, quod ex quando factum est in me,*
*Hostile nutritum est.*

Σχόλια. Ἔα ἔα.] εἴσθεσις ἑτέρα μέλους χοροῦ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον τὴν ἰὼ ἰὼ ἐκ κώλων ἀναπαιστικῶν καὶ παιωνικῶν ὀκτώ. ἧς προτίθεται C κῶλον ἰαμβικόν ἤτοι ἰαμβικὴ βάσις. εἰσὶ δὲ τὰ μὲν ἀναπαιστικὰ μεμιγμένα προκελευσματικοῖς, τὰ δὲ παιωνικὰ πεντασυλλάβοις. διαλύονται γὰρ καὶ τῶν παιώνων εἰς βραχείας αἱ μακραί. τὸ μὲν οὖν πρῶτον καὶ τρίτον ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα. τὸ δὲ δεύτερον καὶ τέταρτον ὅμοια τῷ δευτέρῳ. τὸ πέμπτον ἐφθημιμερές. τὸ ἕκτον καὶ ζ παιωνικὰ τετράμετρα καταληκτικά. τὸ δὲ ὄγδοον ὅμοιον ἐφθημιμερές. ἐν ἐκθέσει δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ τρεῖς. τὸν τρίτον δὲ ἀναπληροῖ τὸ ἑξῆς πρόσωπον εἰσερχόμενον. ἑξῆς δὲ σύστημα ἐν εἰσθέσει τροχαϊκῶν τετραμέτρων καταληκτικῶν δ. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. τοῦ δὲ συστήματος μόνη παράγραφος. Ὁμότροφα.] οἳ τὴν αὐτὴν ἡμῖν κατανομὴν νενέμηνται. Παρέβη μὲν θεσμούς.] ὡς τούτου νενομοθετημένου αὐτοῖς τὸ μὴ συνεῖναι ἀνθρώποις.

D

## ΣΥΣΤΗΜΑ κατὰ περικοπήν.

BISETVS. Ὁ τῶν ὀρνίθων χορὸς τὸν Εὔελπιν, καὶ τὸν Πεισθέταιρον θανάτῳ ζημιωτέους, καὶ τοῖς ὄνυξι, καὶ τῷ ῥάμφει διασπαστέους, καὶ διαφορητέους λέγει.

Πρὸς μὲν οὖν τὸν ὄρνιν ἡμῖν ἐστιν ὕστερος λόγος.
E Τὼ δὲ πρεσβύτα δοκεῖ μοι τώδε δοῦναι τὴν δίκην.
Διαφορηθῆναί θ' ὑφ' ἡμῶν. Πει. ὡς ἀπολούμεθ' ἄρα.
Εὐ. Αἴτιος μέντοι σὺ νῷν εἶ τῶν κακῶν τούτων μόνος.
Ἐπὶ τί γάρ μ' ἐκεῖθεν ἦγες; Πει. ἵν' ἀκολουθοίης ἐμοί.
F Εὐ. Ἵνα μὲν οὖν κλάοιμι μεγάλα. Πει. τοῦτο μὲν ληρεῖς ἔχων
Κάρτα. Εὐ. πῶς; Πει. κλαύσει γὰρ ἢν ἅπαξ γε τὼ 'φθαλμὼ 'κκοπῇς.

## CONSTITVTIO per circuncisionem.

*Ad quidem igitur auem nobis est vltimus sermo,*
*Horum autem senes videtur mihi huic dare pœnam,*
*Dilacerarique à nobis.* PI. *Valdè perimus certè,*
EV. *Causa quidem tu nobis es malorum horum solus.*
*In quid me illinc duxisti?* PI. *Vt sequereris me.*
EV. *Vt quidem igitur fleam valdè.* PI. *Hoc quidem nugaris habens*
*Valde.* EV. *Quomodo? flebis enim si semel oculos verberaberis.*

Σχόλια. Ὕστερος λόγος.] ὅ ἐστι ὕστερον αὐτῷ μαχησόμεθα. ὡς παρ' Ὁμήρῳ. ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖθις. Διαφορηθῆναι.] διασπασθῆναι. Αἴτιος μέντοι σύ.] ἀλλήλοις ἀντεγκαλοῦσιν οἱ πρεσβῦται ἀμηχανοῦντες ἐκφυγεῖν πως τὸ παρὸν κακόν.

G

## ΑΝΤΙΣΤΡΟΦΗ κώλων θ'.

Χο. Ἰὼ. ἰώ. ἔπαγ' ἔπιθ' ἐπίφερε πολέμιον
Ὁρμὰν φονίαν. πτέρυγά τε παντᾷ γε

## INVERSIO membrorum nouem.

*CH. Heu, heu, induc, adeas, infer hostilem,*
*Incursionem cadilem, alam omnino*